**Τυπικὴ διάταξις τῆς ἀκολουθίας τοῦ Ἀποδείπνου ἐν τῇ Ἁγίᾳ καὶ Μεγάλῃ Τεσσαρακοστῇ**

## Α. Εἰς τὰς Κυριακὰς τῆς Μεγάλης Τεσσαρακοστῆς

**(ἔκτος τῆς Κυριακῆς τῶν Βαΐων)**

Μετὰ τὸν εὐλογητόν, τὸ· *Βασιλεῦ οὐράνιε*…Τρισάγιον, μετανοίας γ'. *Παναγία Τριάς…Πάτερ ἡμῶν…Ὅτι σοῦ ἐστιν*…Κύριε ἐλέησον ιβ', καὶ τὸ· *Δεῦτε προσκυνήσωμεν*…ἐκ γ', μετανοίας γ' καὶ εὐθὺς χῦμα ἀναγινώσκουμε τοὺς ψαλμούς: ψαλμὸς δ'· *Ἐν τῷ ἐπικαλεῖσθαί με εἰσήκουσάς μου*…ὁ ψαλμός ϛ'· *Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με*…καὶ ὁ ψαλμὸς ιβ'· *Ἕως πότε, Κύριε, ἐπιλήσῃ μου εἰς τέλος*…Εἶτα Δόξα, καὶ νῦν... *Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα, δόξα σοι ὁ Θεὸς* ἐκ γ', μετανοίας γ'. Κύριε ἐλέησον γ'. Δόξα, καὶ νῦν καὶ τοὺς ψαλμούς: ψαλμὸς κδ'· *Πρὸς σέ, Κύριε, ἦρα τὴν ψυχήν μου*…ὁ ψαλμὸς λ'· *Ἐπὶ σοί, Κύριε, ἤλπισα*…καὶ ὁ 90ος ψαλμὸς· *Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ Ὑψίστου*…, μεθ’ οὓς Δόξα, καὶ νῦν. *Ἀλληλούϊα* κτλ. ἐκ γ', μετανοίας γ'. Εἶτα τὸ· *Μεθ’ ἡμῶν ὁ Θεός*…χύμα καὶ ἄνευ μέλους, καὶ μετ’ αὐτὸ χύμα ὡσάυτως τὰ τροπάρια· *Τὴν ἡμέραν διελθών*…Δόξα· *Τὴν ἡμέραν παρελθών*…Καὶ νῦν· *Τὴν ἡμέραν διαβὰς*… Εἶτα χῦμα τοὺς στίχους· *Ἡ ἀσώματος φύσις τὰ Χερουβὶμ*…Καὶ εὐθὺς χθαμαλὴ τῇ φωνῇ τὸ· *Πιστεύω εἰς ἕνα Θεόν*…Μεθ’ ὃ ὡσαύτως χύμα τοὺς στίχους· *Παναγία Δέσποινα Θεοτόκε*…, ὧν ὁ μὲν πρῶτος καὶ ὁ προτελευταῖος τρισσεύεται, οἱ δὲ λοιποὶ δευτερούνται, πλὴν τοῦ τελευταίου ἅπαξ μόνον λεγομένου. Εἶτα, τρισάγιον, μετανοίας γ'. *Παναγία Τριάς… Πάτερ ἡμῶν..Ὅτι σοῦ ἐστιν*…Καὶ χῦμα τὰ τροπάρια· *Φώτισον τοὺς ὀφθαλμούς μου*…Δόξα· *Ἀντιλήπτωρ τῆς ψυχῆς μου*…Καὶ νῦν· *Ὅτι οὐκ ἔχομεν παρρησίαν*…Τὸ Κύριε ἐλέησον μ'. Δόξα, καὶ νῦν. *Τὴν τιμιωτέραν…Ἐν ὀνόματι Κυρίου*…Ὁ ἱερεὺς· *Δι’ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν*… Εἶτα τὴν εὐχὴν· *Κύριε, Κύριε, ὁ ῥυσάμενος ἡμᾶς…Δεῦτε προσκυνήσωμεν*…γ', μετανοίας γ' καὶ οἱ ψαλμοί, ν'· *Ἐλέησόν με ὁ Θεός*…καὶ ρα'· *Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου*…καὶ ἡ εὐχὴ· *Κύριε παντοκράτορ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν*…Τὸ τρισάγιον, μετανοίας γ'. *Παναγία Τριὰς*…

κτλ. καὶ μετὰ τὸ· *Ὅτι σοῦ ἐστι…*χῦμα τὰ τροπάρια· *Ἐλέησον ἡμᾶς…Δόξα· Κύριε, ἐλέησον ἡμᾶς…*Καὶ νῦν· *Τῆς εὐσπλαχνίας τὴν πύλην…*Τὸ Κύριε ἐλέησον μ'. Δόξα, καὶ νῦν. *Τὴν τιμιωτέραν…Ἐν ὀνόματι Κυρίου…*Ὁ ἱερεὺς· *Δι' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν…*Καὶ ἡ εὐχή· *Δεσπότα Θεὲ Πάτερ παντοκράτορ…Δεῦτε προσκυνήσωμεν…* γ' καὶ τους ψαλμοὺς, ξθ'· *Ὁ Θεός, εἰς τὴν βοήθειάν μου πρόσχες…*ρμβ'· *Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου…*Εἶτα χῦμα τὴν μικρὰν Δοξολογίαν. Μεθ' ἣν ψάλλομεν τὸν κανόνα τῆς Θεοτόκου κατ' ἦχον καὶ ἡμέραν (ἐκ τοῦ Θεοτοκαρίου τοῦ Ἁγίου Νικοδήμου τοῦ Ἁγιορείτου). Μετὰ δὲ τὴν συμπληρῶσιν αὐτοῦ, τρισάγιον, μετανοίας γ'. *Παναγία Τριάς…Πάτερ ἡμῶν…Ὅτι σοῦ ἐστι…* Καὶ τὸ τροπάριον· *Κύριε τῶν δυνάμεων…*επτάκις χῦμα μετὰ τῶν στίχων αὐτοῦ. Εἶτα, Δόξα τῷ Πατρί· Κ*ύριε εἰ μὴ τοὺς ἁγίους σοῦ…*Καὶ νῦν· *Πολλὰ τὰ πλήθη…*Παναγία Θεοτόκε…*Τὴν πᾶσαν ἐλπίδαν μου…*πάντα χῦμα. Τὸ Κύριε ἐλέησον μ'. *Ὁ ἐν παντὶ καιρῷ…*Κύριε ἐλέησον γ'. Δόξα, καὶ νῦν. *Τὴν τιμιωτέραν…Ἐν ὀνόματι Κυρίου…*Ὁ ἱερεὺς· *Ὁ Θεὸς οἰκειρῆσαι ἡμᾶς…*καὶ ποιοῦμεν τὰς γ' μεγάλας μετανοίας, λέγοντες καθ' ἑαυτοὺς καὶ ἕνα στίχον τῆς εὐχῆς τοῦ ὁσίου Ἐφραὶμ· *Κύριε καὶ δεσπότα τῆς ζωῆς μου…*εἶτα τὰς ιβ' μικράς, καὶ πάλιν μετάνοιαν μεγάλην, καὶ τὸν τελευταῖον στίχον τῆς εὐχῆς. Μετὰ δὲ τὴν τελευταίαν μετάνοιαν, τρισάγιον, μετανοίας γ'. *Παναγία Τριάς…Πάτερ ἡμῶν…Ὅτι σοῦ ἐστι…*Κύριε ἐλέησον ιβ' καὶ τὰς εὐχὰς· *Ἄσπιλε ἀμόλυντε…Καὶ δὸς ἡμῖν Δεσπότα… Ὑπερένδοξε ἀειπάρθενε…Ἡ ἐλπίς μου ὁ πατήρ…Τὴν πᾶσαν ἐλπίδαν μου…*Δόξα, καὶ νῦν Κύριε ἐλέησον γ'. *Εὐλόγησον.* Ὁ ἱερεὺς πρὸ τῶν βασιλικῶν πυλῶν ἐκφωνεῖ· *Εἰρήνη πᾶσι.* Ὁ χορὸς· *Καὶ τῷ πνεύματί σου.* Ὁ ἱερεὺς· *Τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.* Ὁ χορός· *Σοὶ Κύριε.* Καὶ ἡμῶν κεκλιμένων λέγει εὐθὺς· *Δεσπότα πολυέλεε…*Εἰθ' οὕτω αἰτεῖται καὶ λαμβάνεται ὑπ' ἀλλήλων ἡ συγχώρησις. Ὁ δὲ ἱερεὺς λέγει τὸ· *Εὐθώμεθα…*καὶ τὰς λοιπὰς αἰτήσεις τῆς ἐκτενοῦς δεήσεως καὶ εἶτα τὸ· *Δι' εὐχῶν...* Καὶ οὕτως ἀπερχόμεθα ἐν τοῖς κελλίοις ἡμῶν ἢ ἐν τοῖς οἰκείοις ἡμῶν, ἔνθα λέγομεν καὶ τὴν εὐχὴν· *Τοῖς μισοῦσιν καὶ ἀδικοῦσιν ἡμᾶς…*

**Σημείωσις:** Ἡ ἀκολουθία τοῦ μεγάλου ἀποδείπνου τελεῖται ἐν τῷ νάρθηκι.

## Β. Εἰς ἑκάστην Δευτέραν, Τρίτην, Τετάρτην καὶ Πέμπτην

Μετὰ τὸν εὐλογητόν, τὸ· *Βασιλεῦ οὐράνιε*…Τρισάγιον, μετανοίας γ'. *Παναγία Τριάς*…*Πάτερ ἡμῶν*…*Ὅτι σοῦ ἐστιν*…Κύριε ἐλέησον ιβ', καὶ τὸ· *Δεῦτε προσκυνήσωμεν*…ἐκ γ', μετανοίας γ' καὶ εὐθὺς χῦμα ἀναγινώσκουμε τοὺς ψαλμούς: ψαλμὸς δ'· *Ἐν τῷ ἐπικαλεῖσθαί με εἰσήκουσάς μου*…ὁ ψαλμός ϛ'· *Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με*…καὶ ὁ ψαλμὸς ιβ'· *Ἕως πότε, Κύριε, ἐπιλήσῃ μου εἰς τέλος*…Εἶτα Δόξα, καὶ νῦν... *Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα, δόξα σοι ὁ Θεὸς* ἐκ γ', μετανοίας γ'. Κύριε ἐλέησον γ'. Δόξα, καὶ νῦν…καὶ τοὺς ψαλμούς: ψαλμὸς κδ'· *Πρὸς σέ, Κύριε, ἦρα τὴν ψυχήν μου*…ὁ ψαλμὸς λ'· *Ἐπὶ σοί, Κύριε, ἤλπισα*…καὶ ὁ 90ος ψαλμὸς· *Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ Ὑψίστου*…, μεθ' οὓς Δόξα, καὶ νῦν... *Ἀλληλούϊα* κτλ. ἐκ γ', μετανοίας γ'. Εἶτα ψάλλομεν τοὺς στίχους· *Μεθ' ἡμῶν ὁ Θεός*…ἐξ ἑκατέρου τῶν χορῶν ἐναλλὰξ ἀργῶς καὶ μεγαλοφώνως, εἰς ἦχον πλ.β', ἐπιλέγοντες μεθ' ἕκαστον στίχον τὸ· *Ὅτι μεθ' ἡμῶν ὁ Θεός*, ὡσάυτως καὶ εἰς τὸ· *Δόξα*…καὶ εἰς τὸ· *Καὶ νῦν*…Ἄρχεται δὲ αὐτῶν ὁ δεξιὸς χορός. Καὶ συμπληρωθέντων πάντων, λέγει πάλιν ὁ δεξιὸς ἀργότερον τὸν πρῶτον στίχον ὅλον· *Μεθ' ἡμῶν ὁ Θεός, γνῶτε ἔθνη καὶ ἡττᾶσθε· ὅτι μεθ' ἡμῶν ὁ Θεὸς*. Καὶ εὐθὺς χῦμα καὶ ἄνευ μέλους, τὰ τροπάρια· *Τὴν ἡμέραν διελθών*…Δόξα· *Τὴν ἡμέραν παρελθών*…Καὶ νῦν· *Τὴν ἡμέραν διαβὰς*…Καὶ εἶτα ἀρχομένου τοῦ δεξιοῦ χοροῦ, ψάλλονται οἱ στίχοι· *Ἡ ἀσώματος φύσις τὰ Χερουβίμ*…ἐναλλὰξ ὑπ' ἀμφοτέρων τῶν χορῶν, ἅπαξ ἕκαστος. Τὸν δὲ τελευταῖον στίχον· *Ἅγιε, ἅγιε, ἅγιε, τρισάγιε Κύριε, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν*, λέγει ὁ ἀριστερὸς χορὸς χῦμα. Καὶ εὐθὺς ὁ πρωεστὼς χθαμαλὴ τῇ φωνῇ τὸ· *Πιστεύω εἰς ἕνα Θεόν*…Εἶτα ἄρχεται ὁ ἀριστερὸς χορὸς τοῦ στίχου· *Παναγία Δέσποινα Θεοτόκε*…ὅπερ καὶ τρισσεύεται· οἱ δὲ λοιποὶ στίχοι δευτεροῦνται· μετὰ δὲ τὸ· *Ὅσιοι θεοφόροι πατέρες ἡμῶν*…,ψάλλεται ἐκ β' ὁ στίχος τοῦ ἁγίου τῆς μονῆς ἢ τοῦ ναοῦ εἶτα τὸ· *Ἡ ἀήττητος καὶ ἀκατάλυτος*…δίς,

μεθ᾽ ὃν τὸ· *Ὁ Θεὸς ἱλάσθητι ἡμῖν τοῖς ἁμαρτωλοῖς*, ἐκ τρίτου καὶ ἔσχατον ὁ ἀριστερὸς χορὸς τὸ· *Ἐλέησον ἡμᾶς, ἅπαξ*. Ποιοῦμεν δὲ ἐν ἑκάστῳ τῶν στίχων ἀνὰ μίαν μικρὰν μετάνοιαν, πλὴν τοῦ τελευταίου. Εἶτα ὁ ἀναγνώστης τρισάγιον, χωρὶς μετανοιῶν. *Παναγία τριάς…Πάτερ ἡμῶν…Ὅτι σοῦ ἐστιν…*Μεθ᾽ ὅ, τῇ μὲν Δευτέρᾳ ἑσπέρας καὶ τῇ Τετάρτῃ ἑσπέρας, ἀναγινώσκει ὁ ἀναγνώστης χύμα τὰ τροπάρια· *Φώτισον τοὺς ὀφθαλμούς μου…*Δόξα· *Ἀντιλήπτωρ τῆς ψυχῆς μου…*Καὶ νῦν· *Ὅτι οὐκ ἔχομεν παῤῥησίαν…*Τῇ δὲ Τρίτῃ ἑσπέρας, καὶ τῇ Πέμπτῃ ἑσπέρας, ἀντ᾽ αὐτῶν λέγει ταῦτα: *Τῶν ἀοράτων ἐχθρῶν μου…*Στίχος· *Εἴπλεψον ἐπ᾽ ἐμέ…Ὡς φοβερὰ ἡ κρίσις σου…*Δόξα· *Δάκρυά μοι δὸς ὁ Θεός…*Καὶ νῦν· *Τὴν ἀκαταίσχυντον…*Εἶτα τὸ Κύριε ἐλέησον μ'. Δόξα, καὶ νῦν. *Τὴν τιμιωτέραν… Ἐν ὀνόματι Κυρίου…*Ὁ ἱερεὺς· *Δι᾽ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν…* Εἶτα τὴν εὐχὴν· *Κύριε, Κύριε, ὁ ῥυσάμενος ἡμᾶς…Δεῦτε προσκυνήσωμεν…γ'*, μετανοίας γ' καὶ οἱ ψαλμοὶ, ν'· *Ἐλέησόν με ὁ Θεός…*καὶ ρα'· *Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου…*καὶ ἡ εὐχὴ· *Κύριε παντοκράτορ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν…*Τὸ τρισάγιον, μετανοίας γ'. *Παναγία Τριὰς…* κτλ. καὶ μετὰ τὸ· *Ὅτι σοῦ ἐστι…*Καὶ ἀρχομένου τοῦ δεξιοῦ χοροῦ, ψάλλομεν τὰ τροπάρια· *Ἐλέησον ἡμᾶς…*Δόξα· *Κύριε, ἐλέησον ἡμᾶς…*Καὶ νῦν· *Τῆς εὐσπλαχνίας τὴν πύλην…*Τὸ Κύριε ἐλέησον μ'. Δόξα, καὶ νῦν. *Τὴν τιμιωτέραν…Ἐν ὀνόματι Κυρίου…*Ὁ ἱερεὺς· *Δι᾽ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν…*Καὶ ἡ εὐχὴ· *Δεσπότα Θεὲ Πάτερ παντοκράτορ…Δεῦτε προσκυνήσωμεν…γ'* καὶ τους ψαλμοὺς, ξθ'· *Ὁ Θεός, εἰς τὴν βοήθειάν μου πρόσχες…*ρμβ'· *Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου…*Εἶτα χῦμα τὴν μικρὰν Δοξολογίαν.

Εἶτα ψάλλεται ὁ κανὼν τῆς ἡμέρας, ὅστις ἐστὶν ὁ ἑξῆς:

***α'***. Τῇ Δευτέρᾳ, Τρίτῃ, Τετάρτῃ καὶ Πέμπτῃ τῆς Α' ἑβδομάδας τῶν Νηστειῶν εἰς τὸ ἀποδεῖπνον, ψάλλομεν τὸν μέγα κανόνα· *Βοηθὸς καὶ σκεπαστὴς ἐγένετό μοι…*εἰς τέσσερα τμήματα, ἀνὰ ἓν τμῆμα καθ᾽ ἑκάστην ἑσπέραν, μετὰ τῶν εἱρμῶν ἐν ἑκάστῃ ᾠδῇ· καὶ τοὺς μὲν εἱρμοὺς λέγομεν ἄνευ στίχου, εἰς δὲ τὰ τροπάρια λέγομεν τὸν στίχον· *Ἐλέησόν με ὁ Θεὸς ἐλέησόν με*, ποιοῦντες ἐν ἑκάστῳ καὶ γ' μικρὰς μετανοίας· πρὸ τοῦ τρια-

δικοὺ ἑκάστης ᾠδῆς λέγομεν· *Δόξα...*, πρὸ δὲ τοῦ θεοτοκίου τὸ· *Καὶ νῦν....* Ἀφ' ἕκτης ᾠδῆς, ψάλλει ὁ δεξιὸς χορὸς ἀργῶς τὸ κοντάκιον· *Ψυχή μου, ψυχή μου...*Μετὰ δὲ τὴν συμπληρῶσιν τῆς θ' ᾠδῆς, ψάλλει τὸν εἱρμὸν αὐτῆς· *Ἀσπόρου συλλήψεως...*ἀργῶς.

**β'.** Ἀπὸ δὲ τῆς Κυριακῆς τῆς Ὀρθοδοξίας ἑσπέρας μέχρι τῆς Πέμπτης πρὸ τοῦ Λαζάρου ἑσπέρας, καθ' ἑκάστην εἰς τὰ ἀποδεῖπνα, ψάλλομεν τὸν κανόνα τοῦ Θεοτοκαρίου (ἐκ τοῦ Θεοτοκαρίου τοῦ Ἁγίου Νικοδήμου τοῦ Ἁγιορείτου), καὶ σὺν αὐτῷ ψάλλεται καὶ ἀνὰ εἷς κανὼν τοῦ Μηναίου οἱ ἀπὸ τοῦ Σαββάτου τοῦ Λαζάρου μέχρι καὶ τῆς Κυριακῆς τοῦ Ἀντίπασχα συμπίπτοντες. Προηγεῖται δὲ ἐν ἑκάστῃ ᾠδῇ ὁ κανὼν τῆς Θεοτόκου εἰς δ' τροπάρια καὶ ἕπεται ἡ ὁμώνυμος ᾠδὴ τοῦ ἁγίου εἰς δ' τροπάρια. Ἀπὸ γ' ᾠδῆς, κάθισμα τοῦ Μηναίου, ἅπαξ. Ἀφ' ἕκτης, κάθισμα τοῦ Θεοτοκαρίου. Καὶ μετὰ τὴν θ' ᾠδήν, τὰ δ' προσόμοια τῆς Θεοτόκου, εἶτα τὰ γ' τοῦ Μηναίου καὶ τὸ θεοτοκίον αὐτοῦ.

Ἐὰν δὲ συμπληρωθῶσιν οἱ κανόνες τοῦ Μηναίου, λέγονται μόνοι οἱ τῆς Θεοτόκου, ὡς σύνηθες.

Μετὰ δὲ τὴν συμπληρῶσιν τοῦ κανόνος, τρισάγιον, μετανοίας γ'. *Παναγία Τριάς...Πάτερ ἡμῶν...Ὅτι σοῦ ἐστι...*Καὶ ἀρχομένου τοῦ δεξιοῦ χοροῦ ψάλλεται μεγαλοφώνως καὶ ἀργὼς εἰς ἦχον πλ.β' τὸ τροπάριον· *Κύριε τῶν δυνάμεων...*ἑξάκις, μετὰ τῶν πέντε στίχων αὐτοῦ, ἐναλλὰξ ὑπ' ἀμφοτέρων τῶν χορῶν. Εἶτα ὁ δεξιὸς χορὸς λέγει· *Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ*, ὁ ἀριστερὸς χορὸς· *Αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ*, καὶ ψάλλει ὁ δεξιὸς χορὸς ἀργότερον τὸ· *Κύριε τῶν δυνάμεων μεθ' ἡμῶν γενοῦ· ἄλλον γὰρ ἐκτός σου βοηθὸν ἐν θλίψεσιν οὐκ ἔχομεν·* καὶ ὁ ἀριστερὸς τὸ τέλος· *Κύριε τῶν δυνάμεων ἐλέησον ἡμᾶς.* Εἶτα ἀναγινώσκεται χῦμα τὸ· *Δόξα τῷ Πατρί...Κύριε εἰ μὴ τοὺς ἁγίους σοῦ...*Καὶ νῦν· *Πολλὰ τὰ πλήθη τῶν ἐμῶν...*καὶ εἶτα ὁ μὲν δεξιὸς χορὸς ψάλλει ἀργὼς τὸ· *Παναγία Θεοτόκε...*, ὁ δὲ ἀριστερὸς ὡσάυτως ἀργὼς τὸ· *Τὴν πᾶσαν ἐλπίδαν μου....*Ὁ ἀναγνώστης τὸ Κύριε ἐλέησον μ'. *Ὁ ἐν παντὶ καιρῷ...*Κύριε ἐλέησον γ'. Δόξα, καὶ νῦν. *Τὴν τιμιωτέραν...Ἐν ὀνόματι Κυρίου...*Ὁ ἱερεὺς· *Ὁ Θεὸς οἰκειρῆσαι ἡμᾶς...*καὶ ποιοῦμεν τὰς γ' με-

γάλας μετανοίας, λέγοντες καθ' ἑαυτοὺς καὶ ἕνα στίχον τῆς εὐχῆς τοῦ ὁσίου Ἐφραὶμ· *Κύριε καὶ δεσπότα τῆς ζωῆς μου…*εἶτα τὰς ιβ' μικράς, καὶ πάλιν μετάνοιαν μεγάλην, καὶ τὸν τελευταῖον στίχον τῆς εὐχῆς. Μετὰ δὲ τὴν τελευταίαν μετάνοιαν, τρισάγιον, μετανοίας γ'. *Παναγία Τριάς… Πάτερ ἡμῶν…Ὅτι σοῦ ἐστνιν…*Κύριε ἐλέησον ιβ' καὶ τὰς εὐχὰς· *Ἄσπιλε ἀμόλυντε…Καὶ δὸς ἡμῖν Δεσπότα… Ὑπερένδοξε ἀειπάρθενε…Ἡ ἐλπίς μου ὁ πατήρ…Τὴν πᾶσαν ἐλπίδαν μου…*Δόξα, καὶ νῦν Κύριε ἐλέησον γ'. *Εὐλόγησον.* Ὁ ἱερεὺς πρὸ τῶν βασιλικῶν πυλῶν ἐκφωνεῖ· *Εἰρήνη πᾶσι.* Ὁ χορὸς· *Καὶ τῷ πνεύματί σου.* Ὁ ἱερεὺς· *Τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.* Ὁ χορός· *Σοὶ Κύριε.* Καὶ ἡμῶν κεκλιμένων λέγει εὐθὺς· *Δεσπότα πολύελεε…*

Εἶτα στρεφόμενος πρὸς ἀνατολὰς λέγει τό· *Εὐθώμεθα ὑπὲρ εἰρήνης τοῦ κόσμου…*καὶ τὰς λοιπὰς αἰτήσεις τῆς ἐκτενοῦς δεήσεως. Μεθ' ὃ κλινόντων πάντων τὰς κεφαλὰς μέχρι ἐδάφους, κατέρχεται ὁ ἱερεὺς τῶν βαθμίδων καὶ προχωρεῖ μέχρι τῶν βασιλικῶν πυλῶν εὐλόγων, καὶ εἶτα ἐπανέρχεται πάλιν πρὸ τῶν ἁγίων θυρῶν· γινομένης δὲ τῆς συγχωρήσεως ταύτης, ψάλλει ὁ ἀριστερὸς χορὸς τὸ· *Πάντων προστατεύεις ἀγαθή…*τῇ Δευτέρᾳ καὶ Τετάρτῃ ἑσπέρας· τῇ δὲ Τρίτῃ ἑσπέρας καὶ Πέμπτῃ, ἀντ' αὐτοῦ ψάλλει τὸ· *Σφαγήν σου τὴν ἄδικον Χριστέ…*Καὶ εἶτα ὁ ἱερεὺς τὸ· *Δι' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν…*καὶ ἡμεῖς τὸ· *Ἀμήν.*

Καὶ οὕτως ἀπερχόμεθα ἐν τοῖς κελλίοις ἡμῶν ἢ ἐν τοῖς οἰκείοις ἡμῶν, ἔνθα λέγομεν καὶ τὴν εὐχὴν· *Τοῖς μισοῦσιν καὶ ἀδικοῦσιν ἡμᾶς…*

**Σημείωσις:** Ἐν τοῖς ἀποδείπνοις τῆς Α' ἑβδομάδος τῶν Νηστειῶν, ἐν τέλει μετὰ τὰς εὐχὰς· *Ἡ ἐλπίς μου ὁ Πατήρ…*καὶ· *Τὴν πᾶσαν ἐλπίδαν μου…*, ἀνοίξας ὁ ἱερεὺς τὴν ἁγίαν πύλην, ἐκφωνεῖ· *Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου*, καὶ ἀναγινώσκει τὸ εὐαγγέλιον τῆς παννυχίδος μεθ' ὃ λέγει· *Εἰρήνη πᾶσι.* Ὁ χορὸς· *Καὶ τῷ πνεύματί σου.* Ὁ ἱερεὺς· *Τὰς κεφαλὰς ἡμῶν…*Ὁ χορός· *Σοι Κύριε*, καὶ τὰ ἑξῆς, ὡς ἀνωτέρω προεγράφησαν.

**Ἑτέρα:** Ἡ ἀκολουθία τοῦ Μεγάλου Ἀποδείπνου τελεῖται ἐν τῷ ναῷ.

## Γ. Εἰς ἑκάστην Παρασκευὴν καὶ Σάββατον

**α'.** Τῇ Παρασκευῇ τῆς Α' ἑβδομάδος τῶν Νηστειῶν.

Εὐλογήσαντος τοῦ ἱερέως ἀναγινώσκομεν ὡς ἔθος τὸ μικρὸν ἀπόδεῖπνον ἄνευ μετανοιῶν. Μετὰ δὲ τὸ· *Πιστεύω εἰς ἕνα Θεόν…*ψάλλομεν τὸν τῆς αὔριον κανόνα τοῦ Μηναίου εἰς δ' τροπάρια καὶ τὸν νεκρώσιμον κανόνα τοῦ ἐνδιάτακτου ἤχου εἰς δ' τροπάρια, καταλιμπανομένου τοῦ κανόνος τῆς Θεοτόκου. Ἀφ’ ἕκτης, τὸ κάθισμα τοῦ Μηναίου. Μετὰ δὲ τὴν θ' ᾠδὴν τὰ γ' προσόμοια τοῦ Μηναίου, καὶ θεοτοκίον ὅμοιον. Εἶτα τὸ· *Ἄξιόν ἐστιν…*Τρισάγιον, τὸ κοντάκιον τοῦ Ἁγίου Θεοδώρου· *Πίστιν Χριστοῦ…*Καὶ τὰ λοιπὰ τοῦ μικροῦ ἀποδείπνου. Μετὰ δὲ τό· *Τὴν πᾶσαν ἐλπίδαν μου…*, λέγομεν τό· *Ἐπὶ σοὶ χαίρει…Ἄγιε ἄγγελε…Τῇ ὑπερμάχῳ…*χῦμα, καὶ ἀναγινώσκομεν τοὺς κδ' οἴκους τῆς Θεοτόκου, ὡς ἔθος εἶτα χῦμα τό· *Τῇ ὑπερμάχῳ…*καὶ τό· *Θεοτόκε Παρθένε…*Καὶ εὐθὺς ὁ ἱερεύς· *Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς…*καὶ ἀναγινώσκει τὸ τῆς παννυχίδος εὐγγέλιον. Μεθ’ ὅ· *Δόξα σοι Χριστὲ ὁ Θεός…*καὶ ποιεῖ τὴν μικρὰν ἀπόλυσιν εἶτα τό· *Εὐξώμεθα ὑπὲρ εἰρήνης τοῦ κόσμου…*καὶ τό· *Δι’ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν….*

**β'.** Τῇ Παρασκευῇ τῆς Β', Γ', Δ' ἑβδομάδος τῶν Νηστειῶν.

Εὐλογήσαντος τοῦ ἱερέως ἀναγινώσκομεν ὡς ἔθος τὸ μικρὸν ἀπόδεῖπνον ἄνευ μετανοιῶν. Μετὰ δὲ τὸ· *Πιστεύω εἰς ἕνα Θεόν…*ψάλλομεν τὸν κανόνα τοῦ Θεοτοκαρίου (ἐκ τοῦ Θεοτοκαρίου τοῦ Ἁγίου Νικοδήμου τοῦ Ἁγιορείτου) εἰς δ' τροπάρια καὶ τὸν νεκρώσιμον κανόνα τοῦ ἐνδιάτακτου ἤχου εἰς δ' τροπάρια. Εἶτα τό· *Ἄξιόν ἐστιν…*Τρισάγιον, τὸ κοντάκιον τῶν κεκοιμημένων· *Ὡς ἀπαρχὰς τῆς φύσεως…*Καὶ τὰ λοιπὰ τοῦ μικροῦ ἀποδείπνου. Μετὰ δὲ τό· *Τὴν πᾶσαν ἐλπίδαν μου…*, λέγομεν τό· *Ἐπὶ σοὶ χαίρει…Ἄγιε ἄγγελε…Τῇ ὑπερμάχῳ…*χῦμα, καὶ ἀναγινώσκομεν τοὺς κδ' οἴκους τῆς Θεοτόκου, ὡς ἔθος εἶτα χῦμα τό· *Τῇ ὑπερμάχῳ…*καὶ τό· *Θεοτόκε Παρθένε…*Μεθ’ ὅ· *Δόξα σοι Χριστὲ ὁ Θεός…*καὶ ποιεῖ τὴν

μικρὰν ἀπόλυσιν εἶτα τὸ· *Εὐξώμεθα ὑπὲρ εἰρήνης τοῦ κόσμου*...καὶ τὸ· *Δι' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν*....

**γ'.** Τῇ Παρασκευῇ τῆς Ε' ἑβδομάδος τῶν Νηστειῶν.

Εὐλογήσαντος τοῦ ἱερέως ἀναγινώσκομεν ὡς ἔθος τὸ μικρὸν ἀποδεῖπνον ἄνευ μετανοιῶν. Μετὰ δὲ τὸ· *Πιστεύω εἰς ἕνα Θεόν*...ψάλλομεν τὸν τῆς αὔριον κανόνα τοῦ Μηναίου εἰς δ' τροπάρια καὶ τὸν νεκρώσιμον κανόνα τοῦ ἐνδιάτακτου ἤχου εἰς δ' τροπάρια, καταλιμπανομένου τοῦ κανόνος τῆς Θεοτόκου. Εἶτα τὸ· *Ἄξιόν ἐστιν*...Τρισάγιον, τὸ κοντάκιον τοῦ Ἀκαθίστου Ὕμνου· *Τῇ ὑπερμάχῳ*...Καὶ τὰ λοιπὰ τοῦ μικροῦ ἀποδείπνου. Μετὰ δὲ τὸ· *Τὴν πᾶσαν ἐλπίδαν μου*...ὁ ἱερεὺς ποιεῖ τὴν μικρὰν ἀπόλυσιν εἶτα τὸ· *Εὐξώμεθα ὑπὲρ εἰρήνης τοῦ κόσμου*...καὶ τὸ· *Δι' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν*....

**δ'.** Τῇ Παρασκευῇ τῆς Στ' ἑβδομάδος τῶν Νηστειῶν.

Εὐλογήσαντος τοῦ ἱερέως ἀναγινώσκομεν ὡς ἔθος τὸ μικρὸν ἀποδεῖπνον ἄνευ μετανοιῶν. Μετὰ δὲ τὸ· *Πιστεύω εἰς ἕνα Θεόν*...ψάλλομεν τὸν κανόνα τοῦ Λαζάρου· *Ὠδὴν ἐπινίκιον*...μετὰ τῶν είρμών, λέγοντες εἰς τὰ τροπάρια στίχον· *Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι*, εἰς δὲ τὰ δύο τελευταῖα ἑκάστης ᾠδῆς τὸ· *Δόξα*...,καὶ τὸ· *Καὶ νῦν*...Καὶ μετὰ τὴν συμπλήρωσιν τοῦ κανόνος, ψάλλομεν αὖθις τὸν εἱρμὸν τῆς θ' ᾠδῆς· *Ἐποίησε κράτος*...Εἶτα τό· *Ἄξιόν ἐστιν*...Τρισάγιον, τὸ κοντάκιον τοῦ Τριωδίου· *Ἡ πάντων χαρά*...Καὶ τὰ λοιπὰ τοῦ μικροῦ ἀποδείπνου. Μετὰ δὲ τὸ· *Τὴν πᾶσαν ἐλπίδαν μου*...ὁ ἱερεὺς ποιεῖ τὴν μικρὰν ἀπόλυσιν εἶτα τὸ· *Εὐξώμεθα ὑπὲρ εἰρήνης τοῦ κόσμου*...καὶ τὸ· *Δι' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν*...

**ε'.** Τῷ Σαββάτῳ τῆς Α' ἑβδομάδος τῶν Νηστειῶν.

Ἐν τῷ μικρῷ ἀποδείπνῳ, ὡς ἀνωτέρω, ὁ κανὼν τῆς Θεοτόκου. Εἰς τὸ τρισάγιον τὸ κοντάκιον τοῦ Τριωδίου· *Ὁ ἀπερίγραπτος λόγος τοῦ πατρός*...Ἐν τέλει δὲ οἱ οἶκοι τῆς Θεοτόκου, ὡς ἔθος.

**στ'.** Τῷ Σαββάτῳ τῆς Β', Δ' και της Ε' ἑβδομάδος τῶν Νηστειῶν.

Ἐν τῷ μικρῷ ἀποδείπνῳ, ὡς ἀνωτέρω, ὁ κανὼν τῆς Θεοτόκου. Εἰς τὸ τρισάγιον ἡ ὑπακοὴ τοῦ ἤχου, κατ′ ἦχον. Ἐν τέλει δὲ οἱ οἶκοι τῆς Θεοτόκου, ὡς ἔθος.

**ζ'.** Τῷ Σαββάτῳ τῆς Γ' ἑβδομάδος τῶν Νηστειῶν.

Ἐν τῷ μικρῷ ἀποδείπνῳ, κανόνα τῆς Θεοτόκου οὐ λέγομεν, οὔτε οἴκους ἐν τέλει. Εἰς δὲ τὸ τρισάγιον, κοντάκιον τοῦ Σταυροῦ· *Οὐκέτι φλογίνη ῥομφαῖα...* Τὰ λοιπὰ ὡς ἔθος.

**η'.** Τῷ Σαββάτῳ τῆς Στ' ἑβδομάδος τῶν Νηστειῶν.

Ἐν τῷ μικρῷ ἀποδείπνῳ, κανόνα τῆς Θεοτόκου οὐ λέγομεν, οὔτε οἴκους ἐν τέλει. Εἰς δὲ τὸ τρισάγιον, κοντάκιον τῶν Βαΐων· *Τῷ θρόνῳ ἐν οὐρανῷ…*Τὰ λοιπὰ ὡς ἔθος.

**Σημείωσις:** Ἡ ἀκολουθία τοῦ μικροῦ ἀποδείπνου τελεῖται ἐν τῷ νάρθηκι.